PHILOSTRATI LEMNII SOPHISTÆ Epiſtolæ quædam, partim nunquam, partim auctiores editæ.

IOANNES MEVRSIVS
Primus vulgavit, & adjunxit,

DE

PHILOSTRATIS
Diſſertatiunculam.

LIOTECA NAZ.
ROMA
TORIO EM UEL

LVGDVNI BATAVORVM.
Ex Officinâ LVDOVICI ELZEVIRII.
Typis GODEFRIDI BASSON.
Anno cIↃ.IↃc.xvi.

VIRO. CLARISSIMO

PETRO. SCRIVERIO

POETÆ. INSIGNI
ANTIQVARIO. PERITISS
HISTORIÆ. PATRIÆ
VINDICI. OPT. MAX
AMICO. PRÆSTANTISS
HAS. PHILOSTRATI
EPISTOLAS. EX. COD
MEMBRANACEO. BIBLIOTH
LVGDVNOBATAVÆ
NVNC. PRIMVM. ERVTAS
AFFECTVS. NON. EXIGVI
MONVMENTVM. EXIGVVM
L. M. D. D

IOANNES. MEVRSIVS
KAL. AVGVSTI
CIↃ. IↃC. XVI

ΦΙΛΟ-

ΦΙΛΟΣΤΡΑ'ΤΟΥ

Ἐπιστολαί.

Γυναικί. α'.

Τίς σε, ὦ καλή, περιέκειρεν; ὡς ἀνόητος, καὶ βάρβαρος, ὁ μὴ φεισάμενος τῶν Ἀφροδίτης δώρων. οὐδὲ γὰρ γῆ κομῶσα ἡδὺ οὕτως θέαμα, ὡς γυνὴ κατάκομος. φεῦ ἀναιδοῦς παλάμης. ὄντως πάντα τὰ ἐκ πολεμίων πέπονθας. ἐγὼ δὲ οὐκ ἂν οὐδὲ αἰχμάλωτον περιέκειρα, ἡμῶν τὸ κάλλος, ὡς οὐχ ἡδέως ἀμελούμενον. ἀλλ' ἔπι τετέλεσται τὰ δεινά, καὶ μηνύουσι τὰς κόμας ποῦ κεῖνται. ποῦ τέτμηνται. πῶς αὐτὰς ὑποσπένδους λάβω. πῶς φιλήσω χαμαὶ κειμένας. ὦ πτερὰ Ἔρωτος. ὦ κεφαλῆς ἀκροθίνια. ὦ κάλλους λείψανα.

Τῇ αὐτῇ. β'.

Οὐκ οἶδα τί σου μᾶλλον ἐπαινέσω. τὴν κεφαλήν; ἀλλὰ ὦ τῶν ὀμμάτων. σοῦ ὀφθαλμούς; ἀλλὰ ὦ τῶν παρειῶν τὰς πορείας; ἀλλὰ τὰ χείλη με ἐπάγεται, καὶ δεινῶς κάεται, κεκλεισμένα μὲν, δι' εὐκοσμίαν· ἀνεωχθέντα δὲ, δι' εὐωδίαν. εἰ δὲ καὶ ἀποδύσῃ, ἀστράπτειν τὰ ἔνδον οἶμαι. Φειδία, καὶ Λύσιππε, καὶ Πολύ-

κλείετε, ὡς ταχέως ἐπαύσασθε. οὐ γὰρ ἂν περὶ τούτου τί ἄγαλμα ἄλλο ἐπινικήσαιτι. εὖ μὲν ἔχεις τῆς χειρὸς ἐξόχως. εὖ δὲ τῶν στέρνων εὐρύτητος. εὖ δὲ τοῦ περὶ τὴν γαστέρα ῥυθμοῦ. τὰ δὲ ἄλλα, οὐκ οἶδα πῶς εἴπω. μάχεται τὸ κάλλος καὶ τοῦ Πριαμίδου δικαστοῦ. φεῦ γένωμαί τις. ταῦτ' ἐπαινέσω; καὶ μὴν ἐκεῖνα ἀμείνονα ἐκείνοις δῶ τὴν κρίσιν; καὶ μὴν ἀνθέλκει με ταῦτα. ἐπίτρεψον ἅψασθαι, καὶ ἀποφαίνομαι.

Τῇ αὐτῇ. γ'.

Ὅτε δὲ ἔκρινε τὰς θεὰς ὁ Ἀλέξανδρος, οὔπω παρῆν ἡ ἐκ Λακεδαίμονος. εἰ δ' οὖν; μόνην ἂν καλὴν ἀπεφήνατο, ἣν αὐτὸς ἐβούλετο· ὅπερ οὖν ἐκείνῳ τότε πρὸς τὴν κρίσιν ἄλλη πῶς ἔσχεν, ἐμοὶ νῦν ἐπανορθωθήσεται. μὴ κάμνετε, ὦ θεαί, μηδὲ ἐρίζετε. ἔχω γάρ, ἰδού, τὸ μῆλον. λάβε, ὦ καλή, καὶ νικᾷς τὰς θεάς. καὶ ἀνάγνωθι τὰ γράμματα. τά τε ἄλλα. καὶ ἐπιστολῇ τῷ μήλῳ κέχρημαι. ἐκεῖνο Ἔριδος, τοῦτο Ἔρωτος. ἐκεῖνο ἐσιώπα, τοῦτο φθέγγεται. μὴ ῥίψῃς. μὴ φάγῃς. οὐδὲ ἐν πολέμῳ πρεσβευτὴς παρανομεῖται. τί οὖν ἐπέσταλκα, αὐτὸ ἐρεῖ. * * * Εὐίππη φιλῶ σε. ὑπόγραψον ἀναγνοῦσα καὶ ὡς δέχεται τὸ μῆλον ταῦτα τὰ γράμματα.

Τῇ αὐτῇ. δ'.

ΜΗ' ὑποδήσῃ ποτέ. μηδὲ κρύψῃς τὰ σφυρὰ ἐν ψευδωνύμοις καὶ δολεροῖς δέρμασιν, ὧν ἀπατηλὸν τὸ κάλλος ἐν τῇ βαφῇ. εἰ μέν γε λευκὸν φορείης, συγχεῖς τὴν τῶν ποδῶν λευκότητα. τὸ γὰρ ὅμοιον ἐν τῷ

ὁμοίῳ

ἐμοὶ ὡς εὖ φαίνεται. εἰ δὲ ὑακίνθινον, τῷ μέλανι λυπεῖς· εἰ δὲ φοινικοβαφὲς, φοβεῖς ὡς ῥέοντος ἐκεῖθεν τοῦ αἵματος. εἴθε σοι καὶ τἄλλα πάντα ἐφαίνετο. καὶ πολὺ κρείττων ἂν ἧς ἐμπίπλουσα ὅλη τὰς τῶν ὁρώντων θύρας. ἀλλὰ τῶν μὲν ἄλλων μερῶν ποιοῦ τινὰ, εἰ θέλεις, φειδῶ, καὶ μὴ τῆς σκέπης αὐτοῖς φθόνει, μήτι περιβλημάτων τῶν ἀναγκαίων. τοὺς δὲ πόδας κατάλειπε γυμνοὺς, ὡς δειρὴν, ὡς παρειάς, ὡς κόμας, ὡς ἐρριμμένα ὄμματα. ὅπου μὲν γάρ τι ἡμαρτήθη τῇ φύσει, σοφισμάτων δεῖ πρὸς τὴν βλάβην, ἵνα κρύψῃ τὸ ἐλλιπὲς ἡ τέχνη. ὅπου δὲ ἀρκεῖ τὸ κάλλος εἰς ἐπίδειξιν οἰκείαν, περιττὰ τὰ φάρμακα. θάρσευσον σεαυτῇ, καὶ πίστευσον τοῖς ποσί. τούτων φείσεται καὶ ὕδωρ. τούτων καὶ θάλασσα. κἂν ποταμὸν θέλῃς περάσαι, στήσεται. κἂν κρημνοὺς ὑπερβῆναι, λειμῶνας δόξεις πατεῖν. οὕτως καὶ τὴν Θέτιν ἀργυρόπεζαν εἶπεν ὁ πάσας ἀκριβῶς εἰδὼς τοὺς κάλλους ὑπεροχάς. οὕτως καὶ τὴν Ἀφροδίτην γράφουσιν οἱ ζωγράφοι, τὴν ἀνασχοῦσαν ἐκ τῆς θαλάττης. οὕτω καὶ τὰς Λευκίππιδας. ἐντίμους ἔχε τοὺς πόδας τοῖς βουλομένοις φιλεῖν. καὶ μηδὲ χρυσοῦ δέου. μισῶ τὰς πέδας, ὧν ἡ πολυτέλεια τιμωρία. διαφέρει δὲ ἢ χρυσῷ τινα ἢ σιδήρῳ δεδέσθαι. πλὴν εἰ μὴ τούτου ἐκεῖνο καὶ κάλλιον, ὅτι μετ' εὐφροσύνης ἀνιᾷ. μὴ βασάνιζε, ὦ καλὴ, τὼ πόδε, μηδὲ κρύπτε, οὐδὲν ἔχοντας τοῦ λαθεῖν ἄξιον. ἀλλὰ βάδιζε μαλακῶς, καὶ κατάλειπε σεαυτῆς ἴχνος, ὡς μέλλουσά τι καὶ τῇ γῇ χαρίζεσθαι.

Γυναικὶ καὶ πόρνῃ. έ.

Ὃ τοῖς ἄλλοις ἐπίρρητον δοκεῖ, καὶ μέμψεως ἄξιον, ὅτι ἀναίσχυντος εἶ, καὶ θρασεῖα, καὶ εὔκολος,

τοῦτο μάλιστα ἐγώ σου φιλῶ. καὶ γὰρ τῶν ἵππων θαυμάζομεν τοὺς αὐτῶν ἀνιέντας, καὶ λεόντων τοὺς φρονήματι χρωμένους, καὶ ὀρνίθων τοὺς μὴ νεύοντας κάτω. οὐδὲν οὖν οὐδέ σὺ καινὸν ποιεῖς. εἰ γυνὴ οὖσα, πολλῶν ὥρᾳ κρατοῦσα, ὑψηλόν τι ὁρᾷς, καὶ μετέωρος βαδίζεις. εἴπερ τίς ἐστι καὶ κάλλους ἀκρόπολις, πολὺ κρείττων τῶν βασιλέων. εἴ γε ὑμᾶς μὲν φιλοῦμεν, ἐκείνους δὲ φοβούμεθα. μισθώματα λαμβάνεις· καὶ γὰρ ἡ Δανάη χρυσόν, καὶ στεφάνους, δέχῃ. οὕτω μὲν καὶ ἡ Ἄρτεμις ἡ παρθένος. καὶ γεωργοῖς παρέχεις ἑαυτήν. ἡ δὲ Ἑλένη καὶ ποιμέσιν. ἢ καὶ κιθαρῳδοῖς χαρίζῃ. οὐ μέλλεις πρὸς τὸν Ἀπόλλω βλέπουσα. σὺ δὲ μηδ᾽ αὐλητῶν ἀπέχου. καὶ γὰρ Μουσῶν ἡ τέχνη. μηδὲ δούλων. ἵνα καὶ διά σε δοκῶσιν ἐλεύθεροι. μηδὲ τῶν ἀμφὶ κυνηγεσίαν καὶ θήρας ἐχόντων αἰσχύνεσθαι τὴν Ἀφροδίτην, ὦ καλή. μηδὲ ναυτῶν, ἐπειδὴ ταχέως μὲν ἀπίασιν. ἀλλ᾽ ὁ Ἰάσων οὐκ ἄτιμος, ὁ πρῶτος κατατολμήσας θαλάττης. ἀλλὰ μηδὲ τῶν μισθοῦ στρατευομένων. ἀπόδυε καὶ τοὺς τοὺς ὑπερηφάνους. πένησι μὲν γὰρ μηδὲ ἀντείπῃς ποτέ. ἀκούουσιν αὐτῶν οἱ θεοί. τὸν μὲν γέροντα τίμησον, διὰ τὴν σεμνότητα. τὸν δὲ νέον δίδαξον, ὡς ἄρτι ἀρχόμενον. τὸν ξένον, ἂν σπουδῇ, κατάσχε. ταῦτα καὶ Τιμαγόρα, καὶ Λαΐς, καὶ Ἀρισταγόρα, καὶ τὸ Μενάνδρου Γλυκέριον, ὧν κατ᾽ ἴχνη καὶ σὺ βαίνεις. εἰδυῖα χρῆσθαι παρεῖχες καὶ τὴν σὴν σοφίαν ἐπὶ καιροῦ τῶν ἔργων ἔχουσα. οὔτε γὰρ πῦρ θερμὸν οὕτως ὡς σοῦ τὸ ἆσθμα. οὔτε αὐλὸς ἡδὺ ἄκουσμα οὕτως ὡς τὰ σὰ ῥήματα.

Μειρακίῳ πόρνῳ. ϛʹ.

ΠΩλεῖς σεαυτόν. καὶ γὰρ οἱ μισθοφόροι. καὶ παντὸς εἶ τοῦ διδόντος. καὶ γὰρ οἱ κυβερνῆται. οὕτω σου πίνομεν,

ὡς

ὡς τῶν ποταμῶν. οὕτως ἀπιόμεθα, ὡς τῶν ῥόδων. ἐκείνοις μὲν ἀρέσκεις, ὅτι καὶ γυμνὸς ἕστηκας. καὶ δίδως εἰς κρίσιν σαυτὸν, ὃ μόνον κάλλους ἴδιόν ἐστιν παῤῥησίαν εὐτυχοῦντος. μὴ δὴ αἰδοῦ τῷ εὐκόλῳ, ἀλλὰ σεμνύνου τῷ ἑτοίμῳ. καὶ γὰρ ὕδωρ πᾶσι πρόκειται, καὶ πῦρ οὐχ ἑνὸς, καὶ ἄστρα πάντων, καὶ ὁ ἥλιος δημόσιος θεός. τὸ μὲν οἴκημά σου, κάλλους ἀκρόπολις. οἱ δὲ εἰσιόντες, ἱερεῖς. οἱ δὲ ἐστεφανωμένοι, θεοί. τὸ ἀργύριον, φόροι τῶν ὑπακουόντων. ἡδέως βασίλευε, καὶ λάμβανε, καὶ ἔτι προσκυνοῦ.

Γυναικί. ζ'.

ΜΗδὲ γράφειν φυγάδα ἀνέξῃ, μηδ' ἐπίνευε φιλεῖν ἐκ κοινοῦ οὐδὲ ἀναπνεῖν, οὐδὲ κλάειν. οὐδὲ ἄλλα ὅσα ἡ φύσις. μή με διώξῃς τῶν θυρῶν. ὡς τῆς πατρίδος ἡ τύχη. μηδὲ ὀνειδίσῃς πρᾶγμα αὐτόματον * * * * * λόγῳ τῆς δυνάμεως. ἔφυγε καὶ Ἀριστείδης· ἀλλ' ἐπανήρχετο. καὶ Ξενοφῶν, ἀλλ' οὐ δικαίως. ἔφυγε καὶ Θεμιστοκλῆς, ἀλλ' ἐτιμᾶτο καὶ παρὰ Βαρβάροις. καὶ Ἀλκιβιάδης, ἀλλὰ παρετείχιζε καὶ τὰς Ἀθήνας. καὶ Δημοσθένης, ἀλλ' ὁ φθόνος αἴτιος. φεύγει καὶ θάλαττα, ὅταν ὑφ' ἡλίου ἐλαύνῃ. καὶ ἥλιος, ὅταν νὺξ καταλαμβάνῃ. φεύγει καὶ μετόπωρον, χειμῶνος προσελθόντος. καὶ χειμὼν ἄπεισιν, ἔαρος διώκοντος. καὶ συνελόντι εἰπεῖν, αἱ τῶν πρεσβυτέρων καιρῶν ἐπιδημίαι, τῶν προτέρων εἰσὶ καιρῶν φυγαί. ἐδέξαντο καὶ Ἀθηναῖοι Δήμητραν φεύγουσαν, καὶ Διόνυσον μετοικοῦντα, καὶ τοὺς Ἡρακλέους παῖδας ἀλωμένους ὅταν καὶ τὸν Ἐλέου ἐστήσαντο βωμὸν, ὡς τρισκαιδεκάτου θεοῦ. οὐκ οἴνου σπένδοντες αὐτῷ, καὶ γάλακτος, ἀλλὰ δακρύων, καὶ τῆς πρὸς τοὺς ἱ-

κετεύ-

κετεύοντας αἰδοῦς. ἀνάστησον καί σὺ τὸν βωμόν. καὶ κακῶς πράττοντα ἄνθρωπον ἐλέησον. μὴ δὶς γένωμαι φυγὰς, καὶ τῆς πατρίδος στερηθεὶς, καὶ τοῦ πρὸς σὲ ἔρωτος σφαλείς. ἂν γὰρ ἐλεήσης, κατελήλυθα.

Μειρακίῳ. η'.

Τὴν σωφροσύνην, ἐφ' ᾗ μέγα δὴ φρονεῖς, οὐκ οἶδα τί εἴπω. πότερον ἀγελότητα ἀντίπαλον τῶν φύσεως ἐπιταγμάτων, ἢ φιλοσοφίαν ἀγροικίᾳ πεπυργωμένην, ἢ αὐθάδη πρὸς ἡδονὰς δειλίαν, ἢ σεμνὴν ὀλιγωρίαν τῶν τοῦ βίου τερπνῶν. ὅτι δ' ἂν ᾖ καὶ δοκῇ σοφισταῖς, δόξῃ μέν ἐστι καλὸν, ἔργῳ δὲ ἀπανθρωπότερον. τί γὰρ δὴ μέγα, πρὶν ἀπελθεῖν τοῦ βίου νεκρὸν, εἶναι σώφρονα. στεφανῶσαι, πρὶν ὅλως ἀπανθεῖν. καὶ χρίσαι μύρῳ, πρὶν σαπῆναι. καὶ κτήσαι φίλους, πρὶν ἔρημον γενέσθαι. καλὸν νυκτὶ προλαβεῖν τὴν νύκτα ἐκείνην. πρὶν διψῆν, πιεῖν. καὶ πρὶν πεινῆν, φαγεῖν. ποίαν δοκεῖς ἡμέραν σαυτοῦ; τὴν χθὲς; τέθνηκε. τὴν τήμερον; οὐκ ἐστί. τὴν ἐπιοῦσαν; οὐκ οἶδα εἰ παρέσται σοι. καὶ σὺ, κἀκεῖνα, τῆς τύχης.

Hactenus ineditæ; nunc ſequuntur, quæ auctiores. in quibus, quicquid ab editis abeſt, hiſce notis [ ] incluſimus.

Μειρακίῳ. θ'.

Τὰ ῥόδα, ὥσπερ πτεροῖς τοῖς φύλλοις ἐποχούμενα, ἐλθεῖν παρά σε σπουδὴν ἐποιήσατο. ὑπόδεξαι αὐτὰ εὐμενῶς [ἢ] ὡς Ἀδώνιδος ὑπομνήματα, ἢ ὡς Ἀφροδί-

φροδίτης βαφὴν, ἢ ὡς γῆς ὄμματα. ἀθλητῇ μὲν οὖν, κότινος πρέπει. καὶ βασιλεῖ μεγάλῳ πορθητῇ, τιάρα. καὶ στρατιώτῃ, λόφος. καλῷ δὲ μειρακίῳ, ῥόδα, καὶ διὰ συγγένειαν τῆς εὐωδίας, καὶ διὰ τὸ οἰκεῖον τῆς χροιᾶς. [περιθήσει δὲ, οὐ σὺ τὰ ῥόδα, ἀλλ' αὐτά σε.]

Τοῦ αὐτοῦ. ί.

Ὅτι πένης εἰμὶ, ἀτιμότερός σοι δοκῶ. καὶ μὴν καὶ αὐτὸς ὁ Ἔρως γυμνός ἐστι, καὶ αἱ Χάριτες, καὶ οἱ ἀστέρες. ὁρῶ δὲ ἐγὼ καὶ τὸν Ἡρακλέα ἐν ταῖς γραφαῖς δορὰν θηρίου περιβεβλημένον. καὶ τὰ πολλὰ χαμαὶ καθεύδοντα. τὸν δὲ Ἀπόλλωνα, καὶ ψιλῷ ζώματι ἢ δισκεύοντα, ἢ τοξεύοντα, ἢ τρέχοντα. οἱ δὲ Περσῶν βασιλεῖς τρυφῶσι, καὶ μετέωροι κάθηνται, τῷ πολλῷ χρυσίῳ περιβαλλόμενοι τὸ σεμνόν. τοιγαροῦν ἔπαθον κακῶς, ὑπὸ τῶν πενήτων Ἑλλήνων νικώμενοι. ἦν πτωχὸς ὁ Σωκράτης, ἀλλ' ὑπέτρεχεν αὐτοῦ τὸν τρίβωνα ὁ πλούσιος Ἀλκιβιάδης. πενία γὰρ οὐκ ἔστιν ἔγκλημα. οὔτε τὴν ἑκάστου αἰτίαν ἡ τύχη ἀπολύεται τῇ πρὸς ἀλλήλους κοινωνίᾳ. ἄπιθι πρὸς τὸ θέατρον. πενήτων ὁ δῆμος. ἄπιθι πρὸς τὰ δικαστήρια. πένητες κάθηνται. ἄπιθι ἐπὶ τὰς μάχας. οἱ μὲν πολυτελεῖς, καὶ χρυσοῖ τοῖς ὅπλοις, λείπουσι τὰς τάξεις. ἡμεῖς δὲ, ἀριστεύομεν. ἐν αὐτοῖς τε τοῖς πρὸς τοῦτο καλοῖς ὑμᾶς σκέψαι πόσον τὸ μεθόριον. ὑβρίζει τὸν πταισθέντα ὁ πλούσιος, ὡς ἐωνημένον. [ὁ] πένης εἶδε χαίρειν, ὡς ἐλεούμενος. ἐκεῖνος, σεμνύνεται τῷ θεάματι. ὁ πένης, σιωπᾷ. πάλιν ὁ λαμπρὸς, τὸ πεπραγμένον εἰς ἐξουσίαν ἀναφέρει τῆς οἰκείας δυνάμεως. ὁ πένης, εἰς τὴν τοῦ δόντος φιλανθρωπίαν. ὁ πλούσιος, ἄγγελον πέμ-

τὸν κόλακα, καὶ παράσιτον, καὶ μάγειρον, καὶ τοὺς ἐκ τῆς τραπέζης. ὁ πένης, ἑαυτόν. ὡς μηδὲ ἐν τούτῳ τὴν πενίαν ἀπεῖναι τῆς αὐτουργίας. ὁ πλούσιος δοὺς, εὐθέως ἐλέγχεται. τὸ γὰρ πρᾶγμα κατάφωρον γίνεται τῷ πλήθει τῶν συνεγνωκότων. ὡς μηδὲ τοὺς γείτονας, μηδὲ τοὺς παριόντας τῶν ὁδοιπόρων, ἀγνοῆσαι τὸ δρᾶμα. ὁ πένης χρησάμενος φίλῳ, λανθάνει· οὔτε γὰρ ὄχλος τῇ δεήσει πρόσεστι. καὶ τὴν τῶν ἔξωθεν καταβόησιν ἐκτρεπόμενος, καὶ τὸ τῶν δυνατωτέρων αὐτοῦ γενέσθαι τινας ἀντεραστὰς, ὡς ὄντος ῥᾴστου τοῦ πράγματος, οὐχ ὁμολογεῖ τὴν εὐτυχίαν, ἀλλ' ἀποκρύπτεται. [τί δεῖ τὰ πολλὰ λέγειν; ὁ πλούσιος καλεῖ σε ἐρώμενον, ἐγὼ κύριον. ἐκεῖνος ὑπηρέτην, ἐγὼ θεόν. ἐκεῖνος μέρος τῶν αὐτοῦ κτημάτων, ἐγὼ πάντα. ὅθεν ἄλλου πάλιν ἐρασθεὶς, ὅμοιος πρὸς ἐκεῖνον ἔσται.] πένης δὲ ἅπαξ ἐρᾷ. τίς δύναται παραμεῖναι νοσοῦντι; τίς συναγρυπνεῖν; τίς συνεξελθεῖν εἰς στρατόπεδον; τίς αὐτὸν προτάξαι πεμπομένου βέλους; τίς ὑπὲρ σοῦ πεσεῖν; ἐν τούτοις πᾶσι πλουτῶ.

Γυναικί. ια'.

Ἐχθές σε ὀργιζομένην κατέλαβον. καὶ ἔδοξα ἄλλην βλέπειν. τούτου ἦν αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σοι συγχέασα τὴν τοῦ προσώπου χάριν. νῦν δὴ μεταποίει σεαυτὴν, μηδὲ ἄγριον βλέπε. [οὐδὲ γὰρ τὴν σελήνην ἔτι λαμπρὰν δοκοῦμεν, ὅταν ἡ συννεφής.] οὐδὲ τὴν Ἀφροδίτην καλὴν, ὅταν ὀργίζηται, ἢ δακρύῃ. οὐδὲ τὴν Ἥραν βοῶπιν, ὅταν χαλεπαίνῃ τῷ Διΐ. οὐδὲ τὴν θάλατταν, ὅταν ταράττηται. ἡ δὲ Ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔρριψεν, ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας. ἤδη καὶ τὰς

Ἔριν.

Ἐρινῦς Εὐμενίδας καλοῦμεν, ὡς τὸ σκυθρωπὸν ἀρνουμένας. καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρουσιν, ὅτι ἐξ ἀγρίου θάμνου, καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος, γελῶσιν ἐν τοῖς ῥόδοις. οὕτως ἐστὶ καὶ γυναικὸς ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίνου, μηδὲ φοβερά. μηδὲ ἀποστεφάνου τὸ κάλλος. μηδὲ ἀφαιροῦ ῥόδων σεαυτήν, ἃ ταῖς καλαῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα, ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον. οὐ γ᾽ ὅτι ἐπεστράφης. ἢ γὰρ ἐμίσησας, ἢ ἐφοβήθης, ἢ οὐκ ἐγνώρισας, ἢ μετενόησας.

Τῇ αὐτῇ. ιβ´.

ΤΑ μὲν ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων. ὡς δύνασθαι δι᾽ αὐτῶν καὶ τὴν ψυχὴν ἰδεῖν. τὸ δὲ τῶν παρειῶν ἐρύθημα, οὐ χεῖρον, ὑπὲρ αὐτὸν τὸν οἶνον. τὸ δὲ λινοῦν τοῦτο χιτώνιον, ἀντιλάμπει ταῖς παρειαῖς. τὰ δὲ χείλη, βέβαπται τῷ τῶν ῥόδων αἵματι. καί μοι δοκεῖς τὸ ὕδωρ φέρειν, ὡς ἀπὸ πηγῶν τῶν ὀμμάτων. καὶ διὰ τοῦτο εἶναι Νυμφῶν μία. πόσους ἱστᾶς ἐπειγομένους. πόσους κατέχεις παρατρέχοντας. πόσους φθεγξαμένη καλεῖς. ἐγὼ πρῶτος, ἐπειδὰν ἴδω σε, διψῶ. καὶ ἵσταμαι μὴ θέλων. [καὶ τὸ ἔκπωμα κατέχων. καὶ τὸ μὲν οὐ προσάγω τοῖς χείλεσι. σοῦ δὲ οἶδα πίνων.]

Μειρακίῳ. ιγ´.

ΟὙδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν. ἀλλ᾽ αἰχμαλώτου μὲν ἐρωμένης κατετόλμησεν ὀργισθείς. ἣν οὐδὲ αὐτὴν ἀποκείρειν ἠνέσχετο. κλαίει γοῦν καταπεσών, καὶ μεταγινώσκει τῷ φόνῳ τῶν τριχῶν. ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα. σὺ δὲ, οὐκ οἶδα τί παθών, σεαυτῷ πεπολέμηκας, ὦ ἀνδροφόνε τῆς κεφαλῆς.

τί ἔδει μαχαίρας ἐπὶ τὰς τρίχας; τί δὲ ἑκουσίων καὶ πολλῶν
τραυμάτων; οἷον θέρος ἐξέκοψας; οὐδὲ οἱ ποιηταί σε ἐπαί-
δευσαν τὸν Εὔφορβον καὶ τὸν Μενέλαον εἰσάγοντες κο-
μῶντας; καὶ ὅλον τὸ τῶν Ἀχαιῶν στρατόπεδον, καὶ εἴ τις αὐ-
τοῖς καλὸς ποταμῶν, κομᾷ. ὡς γὰρ χρυσὸς ἀνάθημα, καὶ
ἄργυρος, οὕτω καὶ τρίχες κομῶσαι. οἱ μὲν γὰρ Βάρβαροι,
ὅπλοις. οἱ δὲ Ἕλληνες, κράνεσιν. οἱ δὲ ὀφθαλμοί, βλεφά-
ροις. αἱ δὲ νῆες, ἱστίοις. ἡ δὲ γῆ, ὄρεσι. τὰ δὲ ὄρη, νάπαις. ἡ δὲ
θάλασσα, νήσοις. οἱ δὲ ταῦροι, κέρασιν. οἱ δὲ ποταμοί, τίμ-
πεσιν. αἱ πόλεις, τείχεσι. φοβερώτερος καὶ λέων, ὁ λάσιος.
καὶ ἵππος, ὁ ἤδη τῇ χαίτῃ πεπιστευκώς. καὶ ἀλεκτρυὼν μα-
χιμώτερος, ὁ τὰ κάλλεα ἐγηγερκώς. τιμῶσι δὲ οἱ σοφοὶ καὶ τῶν
ἀστέρων τοὺς κομήτας, καὶ τῶν ἱερέων τοὺς ἀνέτους τῆς κόμης. καὶ
τῶν θεῶν ἄλλους ἄλλως. τὸν Ποσειδῶνα, ὡς κυανοχαίτην. τὸν
Ἀπόλλωνα, ὡς ἀκερσεκόμην. τὸν Πᾶνα, ὡς δασύν. τὴν Ἶσιν,
ὡς λυσίκομον. τὸν Διόνυσον, ὡς μετὰ τῶν τριχῶν καὶ τῷ κιττῷ κο-
μῶντα. Ἀφροδίτη δὲ οὐδὲ πενθοῦσα ἀπεκείρατο. [ἤκουσά γε
μὴν ἀνδρὸς σοφοῦ, καὶ τὰς ἀκτῖνας λέγοντος κόμας ἡλίου.
καὶ τὸν Δία σεμνότερον τῶν ἄλλων θεῶν, ὅτι τὴν κόμην σείει. καὶ
ἐπινεύσῃ, οὐ ψεύδεται. ὁ δὲ Ἑρμῆς, κομᾷ καὶ τῷ κροτάφῳ, καὶ
τοῖς σφυροῖς. τότε ἀποκείρεται καὶ πόλις, ὅτε ἁλίσκεται. καὶ γυνὴ
τότε ἀφίησι τῆς κεφαλῆς τὸ κάλλος, ὅτε πενθεῖ. καὶ γῆς λι-
μός, ὅτι μὴ κομᾷ. ἀλλὰ δένδρον μὲν πεσὸν, κλάεται. καὶ ποι-
ητὴς μεγαλόφωνος πολλὰ ἐπ' αὐτῷ λέγει. σὺ δὲ φύλλα
τοσαῦτα ἐκτεμὼν, οὐ δακρύεις. Φέρε εἴ πω σοι τὸ ἐπιτά-
φιον τῆς κόμης. ὦ κάλλους ἀκρόπολις. ἔρωτος ἄλσος. ὦ ἄ-
στρα κεφαλῆς.]

ΙΟΑΝ-

IOANNIS MEVRSI
DE
PHILOSTRATIS
Diſſertatiuncula.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

PHILOSTRATI, Scriveri Clariſſime, à Suida tres commemorantur. Primus Lemnius, Veri F. qui Athenis docuit ſub Nerone. De eo, ſcriptiſque, ita tradit. Φιλόστρατος ὁ πρῶτος, Λήμνιος, υἱὸς Βήρου. πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, σοφιστὴς καὶ αὐτὸς, σοφιστεύσας ἐν Ἀθήναις. γεγονὼς ἐπὶ Νέρωνος. ἔγραψε λόγους πανηγυρικοὺς πλείστους. καὶ λόγους Ἐλευσινιακοὺς δ΄. μελέτας. ζητούμενα παρὰ τοῖς ῥήτορσι. ῥητορικὰς ἀφορμάς. περὶ τοῦ ὀνόματος. ἔτι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον περὶ τραγῳδίας βιβλία γ΄. γυμναστικόν. ἔτι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων. λιθογνωμικόν. Πρωτέα. κυνά, ἢ σοφιστήν. Νέρωνα. θεατήν. τραγῳδίας μγ΄. καὶ κωμῳδίας ιδ΄. καὶ ἕτερα πλεῖστα, καὶ λόγου ἄξια. Sed in fine ſine interpunctione legendum puto, Νέρωνα θεατήν. ut ſit unum Opus, non duo. Scripſit illud ſine dubio in Neronem, qui Vrbis incen-

dium, quod procuraverat, habitu ſcenico ſpectaverat lætus: atque inde inſcripſit iſto modo. De Neronis illo facto ecce ita Suetonius in ejus vitâ, cap. XXXVIII. *Hoc incendium è turri Mæcenaticâ proſpectans, lætusq́; flamma, ut ajebat, pulcritudine, ἅλωσιν Ilij decantavit in illo ſuę ſcenico habitu.* Atque hoc ὡς ἐν παρόδῳ. Hujus Philoſtrati eſſe puto etiam *Hiſtorias*, quas laudat Ioſephus contra Appionem lib. I. περὶ τούτων γοῦν συμφωνεῖ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, μεμνημένος τῆς Τύρου πολιορκίας. Secundus, ejus filius; qui & ipſe Athenis docuit, vixitque ſub Severo, & ad Philippum uſque ætatem produxit. De eo, ſcriptiſque, ita Suidas. Φιλόστρατος, Φιλοστράτου, τοῦ καὶ Βήρου, Λημνίου, σοφιστοῦ. καὶ αὐτὸς δεύτερος σοφιστής, σοφιστεύσας ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως, καὶ ἕως Φιλίππου. ἔγραψε μελέτας. ἐπιστολὰς ἐρωτικάς. εἰκόνας, ἤτοι ἐκφράσεις, ἐν βιβλίοις δ΄. διαλέξεις. αἶγας, ἢ περὶ αὐλοῦ. Ἀπολλωνίου βίον τοῦ Τυανέως ἐν βιβλίοις η΄. ἀγοράν. ἡρωϊκόν. βίους σοφιστῶν ἐν βιβλίοις δ΄. ἐπιγράμματα. καὶ ἄλλα τινά. Attende autem, ſecundum hunc primi filium dici; & illum vixiſſe ſub Nerone, hunc ſub Severo: quod poſtremum etiam Heſychius Mileſius ait, cujus mox verba proferemus. At falſum iſtud eſſe, vereor ut temporum ratio evincat. Nam ab illius exceſſu ad hujus initium intervallum eſt annorum circiter CXXX. Aut oportet, ut ſub Nerone quidem vixerit, ſed ætatem longè etiam ultra produxerit; deinde

extremâ admodum ſenectâ hunc genuerit, qui
vitam produxerit ad Philippum, id eſt, ſupra
trigeſimũ etiam annum ab exceſſu Severi Im-
peratoris. Ergo duo hi, pater & filius, vixerint
ferè totidem ſecula. Verùm erroris manife-
ſtum teneo Suidam. Primus enim hujus ſe-
cundi non fuit pater, ſed avus maternus. Ob-
ſervo in Philoſtrati ipſius Iunioris, ut hodiè
inſcribitur, Præfatione, quam Iconibus præ-
mittit. *ἐσπούδασταί τις γραφικῶν ἔργων ἔκφρασις τοῦ-
μῷ ὁμωνύμῳ, καὶ μητροπάτορι, λίαν Ἀττικῶς τῆς γλώτ-
της ἔχουσα.* Quid poteſt clarius? Atque hoc ma-
gis cum ratione temporum convenit. Porrò
hoc nũc etiam hinc liquet, primum illud Ico-
num Opus, in libros duos diſtributum, Philo-
ſtrati primi, non ſecundi hujus eſſe; alterum
verò ſecundi, non tertij: contra quàm nobis
Suidas tradit. Huic autem Antoninus Com-
modus Imperator immunitatem à muneribus
publicis conceſſit, annos nato XXIV. Narrat
Philoſtratus tertius in Philiſco. *ἀλλ' ὅμως καὶ μετὰ
ταῦτα Φιλοστράτῳ τῷ Λημνίῳ λειτουργιῶν ἀτέλειαν ἐπὶ
μελέτῃ ἐψηφίσατο, τέτταρα καὶ εἴκοσι ἔτη γεγονότι.* Lo-
quitur autem de Antonino Commodo Imp.
quod verba illic præcedentia clarè teſtantur. *τῆς
δίκης γενομένης ἐπὶ τὸν αὐτοκράτορα. Ἀντωνῖνος δὲ
ἦν, ὁ τοῦ φιλοσόφου παῖς, Ἰουλίας.* Et obſerva. Sub
Commodo annorum fuit viginti quatuor;
ergo natus ſub patre ejus, Antonino Philoſo-
pho. Et tunc Athenis egit. Poſteà Romam ve-
nit

nit ſub Severo, ibiq; vixit uſque ad Philippum: ſi nobis Suidæ verbis ſtandum eſt. Ergo, cum deceſſit, octuagenario major fuerit. Præterea Lemnium utrumque indigetat Suidas. Sed de ſecundo variant Auctores. Cum Suida facit Eunapius in Procemio. ἀλλὰ τὸ μὲν εἰς τοῦτον (τὸν Ἀπολλώνιον) ὁ Λήμνιος ἐπετέλησε Φιλόστρατος, βίον ἐπιγράψας Ἀπολλωνίου τὰ βιβλία. Et Heſychius Mileſius libro De Viris Claris. Φιλόστρατος ὁ Λήμνιος. ὁ τὰς εἰκόνας γράψας, υἱὸς ὢν τοῦ πρώτου, σοφιστοῦ, Φιλοστράτου Λημνίου. οὗτος ὁ δεύτερος ἐσοφίστευσεν ἐπὶ Σεβήρου τοῦ βασιλέως. Photius in Bibliotheca Tyrium facit. ἀνεγνώσθη Φιλοστράτου Τυρίου εἰς τὸν τοῦ Ἀπολλωνίου τοῦ Τυανέως βίον λόγοι ὀκτώ. Et Ioannes Tzetzes Chil. VI. cap. XLV.

Φιλόστρατος ὁ Φλάβιος, ὁ Τύριος, οἶμαι, ῥήτωρ.
ἄλλος δ' ἐστὶν ὁ Ἀττικός.—

Euſebius contra Hieroclem Athenienſem nũcupat. ὅ γε μὴν Ἀθηναῖος Φιλόστρατος τὰ φερόμενα πάντα ὁμοῦ, ἀπό τε τοῦ Μαξίμου, καὶ αὐτοῦ τοῦ Δάμιδος, καὶ ἄλλων ξυναγαγεῖν ἑαυτὸν φήσας, πάντων μάλιστα ἐντελῆ τὴν ἀπὸ γενέσεως καὶ μέχρι τελευτῆς ἱστορίαν τοῦ κατὰ τὸν ἄνδρα βίου πεποίηται. Et innuit etiam Tzetzes in verbis citatis, cum inquit:

ἄλλος δ' ἐστὶν ὁ Ἀττικός.—

Sed ideò Athenienſem dici arbitror, quod Athenis diu docuerit. Aliam cauſam comminiſci nequeo. Cur Tyrium Photius & Tzetzes dicant, planè ignoro quibus id Auctoribus faciant. Quin & Λεξικὸν illius commemorat

alibi

alibi idem Photius. *ἀνεγνώσθη λεξικὸν Ἰουλιανοῦ τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων.* Et mox: *ἐνετύχομεν δὲ καὶ Φιλοστράτου Τυρίου εἰς τὴν αὐτὴν ὑπόθεσιν οὐκ ἀδοκίμῳ σπουδάσματι.* Certè Lemnium ſemper indigerat in Sophiſtis Philoſtratus tertius. Præterea Flavium illi prænomen tribuunt libri, cujus tamen neque Suidas, neque alij meminerunt. Apud ſolum Tzetzem occurrit, in citatis antè verſibus. Ex Operibus exſtant hodiè Heroïca, Icones, Sophiſtarum Vitæ, Epiſtolæ, & Vita Apollonij. Ex Epigrammatibus unum nobis conſervavit Anthologia lib. IV. *εἰς εἰκόνα Τηλέφου πιτρωμένου.* Ad vitam Apollonij quod attinet, eam laudat etiam Zonaras in Domitiano, Annal. II. *τοῦτο δὲ καὶ ὁ Φιλόστρατος, ὁ τὸν Ἀπολλωνίου βίον συγγεγραφὼς, οὕτως ἀνέγραψεν.* Item Cedrenus: *ἀνήγγελλεν αὐτῷ τὰ κατ᾽ αὐτὸν,* (loquitur de Apollonio hoc,) *καθὰ Φιλόστρατος ἱστορεῖ.* Ioannes Tzetzes Chil. II. cap. LX. ubi multa de Apollonio.

γράφουσι ταῦτα πάτρια, καὶ χρονικῶν τι πλῆθος,
Φιλόστρατος, καὶ Μάξιμος ὁμοῦ, καὶ Μοιραγένης.

Sidonius Apollinaris lib. VIII. Epiſt. III. *Apollonij Pythagorici vitam, non ut Nicomachus ſenior è Philoſtrati, ſed ut Taſcius Victorianus è Nicomachi ſchedio exſcripſit, quia juſſeras, miſi.* Paulus Diaconus Hiſt. Miſc. lib. VIII. *Et Apollonius, ex Tyanenſibus Italiæ ortus, Pythagoricus Philoſophus, Romæ pollebat, ita ut hunc ipſo quoque Pythagora Philoſtratus & alij acrioris fuiſſe ingenij deſcribãt.* Hieronymus

ronymus in Epiſtolâ ad Paulinum: *Scripſit ſuper hoc* (Apollonio) *pleniſsimè octo voluminibus Philoſtratus*. Pluries Euſebius cōtra Hieroclem. Eunapius in Prooemio ait, facere titulum debuiſſe, θεοῦ εἰς ἀνθρώπους ἐπιδημίαν. ἀλλὰ τὸ μὲν εἰς τοῦτον (τὸν Ἀπολλώνιον) ὁ Λήμνιος ἐπετέλεσε Φιλόστρατος, βίον ἐπιγράψας Ἀπολλωνίου τὰ βιβλία. δέον θεοῦ ἐπιδημίαν εἰς ἀνθρώπους καλεῖν. Scripſit autem ſub Severo, juſſu Iuliæ Imperatricis, uxoris ejus. Ipſe teſtatur lib. I. cap. III. προσήκων τις τῷ Δάμιδι, τὰς δέλτους τῶν ὑπομνημάτων οὔπω γιγνωσκομένας, εἰς γνῶσιν ἤγαγεν Ἰουλίᾳ τῇ βασιλίδι. μετέχοντι δέ μοι τοῦ περὶ αὐτὴν κύκλου. καὶ γὰρ τοὺς ῥητορικοὺς πάντας λόγους ἐπήνει, καὶ ἠσπάζετο. μεταγράψαι τε προσέταξε καὶ τὰς διατριβὰς ταύτας, καὶ τῆς ἀπαγγελίας αὐτῶν ἐπιμεληθῆναι. Hæc enim Sophiſtis delectabatur, ut in verbis citatis tradit; & præter eum Xiphilinus in Severo. καὶ ἡ μὲν αὐτή τε (loquitur de hâc Iuliâ.) φιλοσοφεῖν διὰ τοῦτο ἤρξατο, καὶ σοφισταῖς συνημέρευσεν. Ac, puto, citatum jam Philoſtrati locum reſpexerit Ioannes Tzetzes Chil. VI. cap. XLV.

Φιλόστρατος ὁ Φλαυΐος, Τύριος οἶμαι ῥήτωρ,
ἄλλος δ' ἐστὶν ὁ Ἀττικός. ὁ Τύριος οὖν οὗτος,
ἦν, ὡς αὐτὸς ἐν τοῖς αὐτοῦ βιβλίοις διαγράφει,
εἷς τοῦ χοροῦ ῥητόρων τε, καὶ τῶν γραμματευόντων
τῇ Ἰουλίᾳ κραταιᾷ πλούσῃ βασιλίδι.
Σύζυγος δ' αὕτη δ' οὐ φησί τινος ἦν βασιλέως.

Hoc autem non prætereundum. Recenſet Suidas, εἰκόνας, ἢ ἐκφράσεις, ἐν βιβλίοις δ'. Sed hodie

die duo tantùm ejus Operis libri exſtant. Ergo perierunt duo; aut aliter illud diſtributum olim atque hodie. Verùm id arbitrari nihil neceſſe. Corrigendus in Suida numerus, ſcribendumque. ἐν βιβλίοις β΄. Sic mox: βίους σοφιστῶν ἐν βιβλίοις δ΄. Itidem corrige, ac reſcribe. ἐν βιβλίοις β΄. Nam duos ſe tantùm de vitâ Sophiſtarum libros compoſuiſſe ipſe teſtatur initio Operis, iſtis verbis. τοὺς ἐν δόξῃ τοῦ φιλοσοφῆσαι σοφιστεύσαντας, καὶ τοὺς οὕτω κυρίως προσρηθέντας σοφιστὰς, ἐς δύο βίβλους ἀνέγραψά σοι. Nihil poteſt clarius. Sed de illo ipſo Opere, conttoverſia eſt; & ſunt qui tertio aſſcribant. Tradit Suidas, ubi de eo. τινὲς δὲ καὶ ΤΟΥ͂Σ ΤΩ͂Ν ΣΟΦΙΣΤΩ͂Ν ΒΙ΄ΟΥΣ ἐπ' αὐτὸν ἀναφέρουσιν. Idq; verum. Quippe meminit ibi non ſemel ipſe ſecundi; & in fine Operis diſertis verbis excuſat ſe, quo minus illum etiam inter Sophiſtas reliquos commemoret. Ecce locum. περὶ δὲ Φιλοστράτου τοῦ Λημνίου, καὶ τίς μὲν ἐν δικαστηρίοις ὁ ἀνὴρ οὗτος, τίς δὲ ἐν δημηγορίαις, τίς δὲ ἐν συγγράμμασι, τίς δὲ ἐν μελέταις, ὅσος δὲ ἐν σχεδίῳ λόγῳ, καὶ περὶ Νικαγόρου τοῦ Ἀθηναίου, ὃς καὶ τοῦ Ἐλευσινίου ἱεροῦ κῆρυξ ἐστί τι, καὶ εἰ Ἀψίνης τε ὁ Φοῖνιξ ἐφ' ὅσον προὔβη μνήμης τε καὶ ἀκριβείας, οὐκ ἐμὲ δεῖ γράφειν. καὶ γὰρ ἂν καὶ ἀπιστηθείην ὡς χαριζόμενος, ἐπειδὴ φιλία μοι πρὸς αὐτοὺς ἦν. Ergo ſatis liquidò oſtendimus, librorum *de Sophiſtis* Auctorem eſſe tertium. Scribere autem incœpit, ut arbitror, Macrino Imperatore, cum Conſulatu fungeretur Antoninus Diadume-

 nus,

λὴ, ἀναγινωσκέτω. Nominat etiam pluries Thomas Magiſter in Eclogâ Dict. Attic. Iam ad tertium veniamus; qui erat Nerviani filius, ſecundi ex fratre pronepos. De eo, ſcriptiſque, ita Suidas. Φιλόστρατος, Νερβιανοῦ, ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστὴς, καὶ παιδεύσας ἐν Ἀθήναις. τελευτήσας δὲ καὶ ταφεὶς ἐν Λήμνῳ. ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν εἰκόνας, παναθηναϊκὸν, Τρωϊκὸν, παράφρασιν τῆς Ὁμήρου ἀσπίδος, μελέτας ε΄. τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ᾽ αὐτὸν ἀναφέρουσιν. Ex his omnibus hodie reſtant duntaxat, quos jam ipſi aſſertum ivimus, *De Sophiſtarum vitâ* libri. Nam de *Iconibus* errare Suidam, & primi, ac ſecundi, eas eſſe, nunc oſtendimus. Sed obſerva; auditorem, & generum, ſecundi fuiſſe. Ita inquit: ἀκουστής τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. Atqui quomodò hæc conveniunt, ſi ejuſdē ex fratre pronepos ille fuerit? Hoc iſtis verbis teſtatū facit. Φιλόστρατος, Νερβιανοῦ, ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου. Oportet igitur, juvenis admodum filiā propatrui, ætate multò grandiorē, uxorem duxerit. Sed cenſeo in Suida mēdum eſſe; & Nervianum fratrem Philoſtrati ſecundi fuiſſe, non autem ex fratre nepotem: atque ita tertius hic nepos ejus, non pronepos, fuerit. idque conveniens. Ergo reſtituendus locus, legendumq; Φιλόστρατος, Νερβιανοῦ, ἀδελφόπαις Φιλοστράτου τοῦ δευτέρου. Ergo, ut rectè rē teneamus, Philoſtrati Lemnij tres fuerunt. Vnus ſub Nerone, quiq; vitam

ad Trajanum etiam produxiſſe videtur: alter, hujus ex filiâ nepos; qui ſub Antonino Philoſopho natus, ad Philippum uſque vixit. tertius, ejus ex Nerviano fratre maiore, ut arbitror, nepos, & gener. Prioris ſcripta, *Iconum* libri II. qui falſo à Suida ſecundo tribuuntur. Alterius, *Vita Apollonij, Heroica, Epiſtolæ*, & *Iconum* liber unicus; quem malè tertio tribuit Suidas. Tertii, *Vitæ Sophiſtarum*; quas malè ſecundo aſſcribit Suidas. Porrò tribus his Philoſtratis, à Suida iam commemoratis, quartum ego addo, Ægyptium, ætate alios antecedentem: ut qui ſub Iulio, & Auguſto, vixerit. Meminit eius ipſe tertius in Sophiſtis, lib. I. εἶδα καὶ Φιλόστρατον τὸν Αἰγύπτιον, Κλεοπάτρᾳ μὲν συμφιλοσοφήσαντα τῇ βασιλίδι, σοφιστὴν δὲ προσρηθέντα, ἐπειδὴ λόγου ἰδέαν πανηγυρικὴν ἥρμοστο, καὶ ποικίλην, γυναικὶ συνών. ᾗ καὶ αὐτὸς τὸ φιλολογεῖν τρυφὴν εἶχεν. ὅθεν καὶ παρῴδουν τινὲς ἐπ᾽ αὐτῷ τόδε τὸ ἐλεγεῖον.

πανσόφου ὀργὴν εἶχε Φιλοστράτου, ὃς Κλεοπάτρᾳ
νῦν προσομιλήσας, τοῖος ἰδεῖν ἐφάνη.

Atque hunc ego eſſe cenſeo, quem Tyrium appellant Photius & Tzetzes, ut paullo antè oſtēdi; cuiuſq; Λεξικὸν ῥητορικὸν laudat Photius. Neque alius eſt putandus, qui laudatur à Plutarcho in M. Antonio. ταύτης δὲ τῆς τιμῆς ἔτυχεν Ἄρειος παρὰ Καίσαρος, καὶ τῶν ἄλλων ἐξητήσατο συχνούς. ὧν εἷς ἦν καὶ Φιλόστρατος, ἀνὴρ εἰπεῖν μὲν ἐξ ἐπιδρομῆς τῶν τότε σοφιστῶν ἱκανώτατος, εἰσποιῶν δὲ μὴ προσηκόντως ἑαυτὸν τῇ Ἀκαδημίᾳ. διὸ καὶ Καῖσαρ αὐτοῦ

βδε-

βδελυπόμϑμος τ̃ τρόπον, ἐ προσίετο τὰς δεήσεις. ὁ ἢ πώγωνα πολιὸν καθεὶς, ἢ φαιὸν ἱμάτιον περιβαλλόμϑμος, ἐξόπιϑεν Α᾽ρείῳ παρηκολέϑει, ἕπον ἀεὶ σίχον ἀναφθεγγόμϑμος.

σοφοὶ σοφὲς σώζουσιν αἲ ὦσι σοφοί.

πειϑόμϑμος ἢ Καῖσαρ, καὶ τ̃ φϑόνε μᾶλλον Α᾽ρειον, ἢ τ̃ δέες Φιλόςρατον ἀπαλλάξαι βελόμϑμος, ἀφῆκε. Iterũ in Catone minore. ἐπὶ ἢ Φιλόςρατον ἐν Σικελίᾳ μέσον εἶχεν περιπατῶν διὰ τιμῆ φιλοσοφίας, ἐγκαλοῦσι. Præterea Philoſtrati nomine plures alibi obſervavi. In his Rhodium, athletam, apud Pauſaniam Eliac. I. τὰ ἢ ὑπόλοιπα ἐς τούτου ἀθλητὰς τούτου οἱ ἐξηγηταὶ λέγουσιν οἱ Ἠλείων ὀγδόῃ μϑμ ἐπὶ τ̃ ἑβδομήκοντα καὶ ἑκατὸν Ο᾽λυμπιάδα εἶναι, λαβεῖν ἢ Εὔδηλον παρὰ Φιλοςράτε χρήματα. τοῦτον ἢ εἶναι τὸν Φιλόςρατον Ρ᾽όδιον. Meminitq; Anonymus in Deſcript. Olymp. in Olympiade CLXXVIII, quam Pauſanias illic dicit, τρίτης ἀπὸ Εὐπώλε Φιλόςρατος τ̃ νίκην ἐξωνήσατο, τ. ἀνταγωνιςὴν Εὔδηλον χρήμασι πείσας. Alius eſt, quem exagitat Ariſtophanes Equitibus:

οἶσϑ᾽ ὅτι τοῦτο τί ἐστι; Φιλόςρατος, ἢ κυναλώπηξ.

Vbi Scholiaſtes. οὕτως ἐκαλεῖτο ὁ Φιλόςρατος. λέγει ἢ αὐτὸν καὶ πορνοβοσκὸν, καὶ καλλωπιςὴν. Is ipſe fortaſſe, cujus mentio apud Demoſthenem, Orat. in Neæram. ὡς Φιλόςρατον δὲ τὸν Κολωνῆϑεν, ἤϑεον ἔτι ὄντα, καὶ φίλον αὐτῷ, καθίςησιν ὁ Λυσίας αὐτάς. Et mox iterum: Φιλόςρατος Διονυσίε Κολωνῆϑεν μαρτυρεῖ εἰδέναι Νέαιραν Νικαρέτης οὖσαν. Mentio item Philoſtrati cujuſdam Cholargẽſis apud Alciphronem,

nem, in Epiſtolâ Ægialei ad Struthionem. βούλομαι δὲ πρὸς ἕνα ἢ δεύτερον τουτωνὶ τῶν λακκοπλούτων διά σου πρόξενον, ἢ πρὸς Ἐρασικλέα τὸν Φρεάῤῥιον, ἢ πρὸς Φιλόστρατον τὸν Χολαργέα, οἰκείως ἔχειν. Item Oeenſis, apud Diogenem Laërtium in Polemone lib. IV. Πολέμων Φιλοστράτου μὲν υἱὸς ἦν, Ἀθηναῖος, τῶν δήμων Οἴηθεν. Alius apud Livium extremo lib. XLIII. *Interim Clevas aſſumpto Philoſtrato, qui Epirotarum gentem habebat, in agrum Antigonenſem tranſcendit.* Item apud Martialem lib. XI. Epigramm LXXXIII.

A Sinueſſanis conviva Philoſtratus undis.

Et in Inſcriptione Veteri.

L. COMINIVS. L. M. L. NATIRA
L. L. L. PHILOSTRATVS. V. F
SIBI. ET. SVIS

Atque hæc ſunt, quæ de Philoſtratis mihi obſervata. Si quis alia, & meliora, aliquando afferet, libens admittam. Tu, Vir Amiciſſime, certò ſcio, grata hæc & accepta habebis. Hoc te autem, antequam deſinam, monitum velim; Epiſt. x. pag. 10. iſta verba. ὁ πλούσιος καλεῖ σε ἐρώμενον, ἐγὼ κύριον. ἐκεῖνος ὑπηρέτην, ἐγὼ θεόν. Luxata mihi omninò videri, atque in verum ordinem ſuum reſtituenda, iſto modo. ὁ πλούσιος καλεῖ σε ἐρώμενον, ἐγὼ θεόν. ἐκεῖνος ὑπηρέτην, ἐγὼ κύριον. Hæc enim magis inter ſe conveniunt. Tu arbitrabere, cujus judicio hæc, & iſta omnia, permitto.

FINIS.

BIBLIOTEC ROMA